

**ΑΚΟΛΟΥΘΙΑ**
**ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ ΜΑΡΤΥΡΩΝ**
**ΚΛΗΜΕΝΤΟΣ ΕΠΙΣΚΟΠΟΥ ΑΓΚΥΡΑΣ ΚΑΙ ΑΓΑΘΑΓΓΕΛΟΥ**

**Ὧν ἡ Μνήμη τῇ ΚΓ΄ Ἰανουαρίου**

**Συμπληρωθεῖσα κατὰ τὰ ἐλλείποντα καὶ ἐμπλουτισθεῖσα ὑπὸ Κυρίλλου Μητροπολίτου Ρόδου**

# ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τὴν εἴσοδον τοῦ ἀρχιερέως

Γεωργίου Ραιδεστηνοῦ

Ἦχος Δι.

Γεωργίου Πρωγάκη
Μουσική συλλογή
Εσπερινός 1909 σ.1#




Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

## Προοιμιακὸς

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.
Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.
Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

ψαλμὸς ργ΄ 103

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.
Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.
Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.
Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.
Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.
Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.
Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.
Ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία, εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.
Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.
Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.
Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.
Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.
Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.
Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς· καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.
Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ· καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.
Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.
Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.
Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.
Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.
Ἔθου σκότος καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.
Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.
Ἀνέτειλεν ὁ ἥλιος καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.
Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.
Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.
Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.
Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.
Πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον· δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.
Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.
Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.
Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.
Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.
ᾎσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.
Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.
Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

καὶ πάλιν

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ.
Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.
Ἀλληλούια, Ἀλληλούια, Ἀλληλούια. Δόξα σοι ὁ Θεός. (γ')
Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

## Ἀνοιξαντάρια Φωκαέως

### Ἦχος λ π ἅ Νη

Μουσική Συλλογή
Γεωργίου Πρωγάκη
Εσπερινός, 1909 σ.2#


νοι ξα αν το ο ος σου την χει ει ει ει ει ρα τα
συ υμ πα αν τα πλη η σθη η η σο ο ο ον ται χρη η στο
ο ο τη η η η τος α πο στρε ε ε ψαν τος δε σου
το ο ο προ σω ω πο ον τα ρα χθη η η σο ο ο ο ον
ται δο ξα α σοι οι ο Θε ο ο ο ος αλ λη λου ου ου
ι ι ι ι α
ν τα νε λει εις το Πνε ε ευ μα α α αυ τω ω
ων και εκ λει ει ει ψου ου ου ου σι και εις τον χου ουουν
α α αυ τω ων ε πι στρε ε ε ψου ου ου ου σιν
δο ξα α σοι οι ο Θε ο ο ο ος αλ λη λου ου ου ι ι
ι ι α


Ε ξα πο στε λεις το ο Πνε ε ευ μα α α α σου και κτι
σθη η σο ον ται αι και α να και νι ι ι ει ει εις το
προ ο σω ω πον τη η ης γη ης Δο ξα σοι Πα α α τερ δο ο
ξα α σοι οι Υι ι ε ε ε ε ε δο ξα α σοι το Πνε ε
ευ μα α το ο ο Α α γι ι ι ον δο ξα α σοι οι
ο Θε ο ος αλ λη λου ου ου ι ι ι ι α
Η η τω η δο ξα α Κυ υ ρι ι ι ου ου εις
τους αι ω ω να α ας ευ φραν θη η σε ται αι αι Κυ ρι ι
ο ος ε πι τοις ε ε ερ γοι οις α α αυ του δο ξα
σοι οι οι Α γι ι ε δο ο ο ξα α σοι οι Κυ υ υ ρι
ι ι ι ε δο ξα α σοι οι Βα σι λευ ου ου ρα α α α


νι ι ι ε ε ε δο ξα α σοι οι ο Θε ο ο ο ος
α α αλ λη λου ου ου ι ι ι ι α
Ο ε πι βλε ε ε ε ε πων ε ε πι ι ι τη η η ην
γην και ποι ων α α αυ την τρε ε ε ε ε ε ε μειν
ο α πτο με ε νος των ο ρε ε ω ω ων και κα
πνι ι ι ι ι ζο και κα πνι ι ζο ο ον ται δο ο ξα
σοι οι οι Α γι ι ε δο ο ξα α σοι οι Κυ υ υ ρι ι ι
ι ε δο ο ξα α α σοι Βα σι λευ ου ου ρα α α α
α α α νι ι ι ι ου ρα α νι ι ι ε δο ο ξα α α
σοι το Πνε ε ευ μα το α α α α α α γι ι ι το α
α γι ι ο ον δο ξα α σοι οι ο Θε ο ο ο ο ος Αλ
λη λου ου ου ι ι ι α α


Α σω τω Κυ ρι ι ι ω ω εν τη ζω ω η η η η
μου ψα λω ω τω Θε ε ω ω ω μου ε ως υ υ πα α αρ χω ω
δο ξα α σοι οι τρι συ πο ο στα α τε Θε ε ο ο ο τη
ης Πα α α α α τερ Υι υι ε και Πνε ε ευ μα α σε ε προσ
κυ υ νου ου ου ου με ε εν και δο ο ξα α α ζο ο ο ο μεν
δο ο ξα α σοι οι ο Θε ο ο ο ο ος Αλ λη λου
ου ου ι ι ι ι α
Η δυν θει ει ει η α αυ τω η δι α λο ο γη η η η
μου ε γω ω δε ε ευ φραν θη η σο ο ο μαι ε
πι τω Κυ υ ρι ι ι ω ω δο ξα α σοι οι Πα α τε ερ α α
α να α α αρ χε δο ξα α σοι Υι ε συ υ υ να να αρ χε δο
ξα α σοι το Πνε ε ευ μα α το ο ο α α γι ι ι ον το


ο μο ου ου σι ι ι ον και ο μο ο ο ο ο ο
θρο ο και ο μο ο θρο ο νο ον Τρι α ας α γι α δο ο ο
ο ο ξα α α α σοι δο ο ξα α σοι οι ο Θε ο ο
ο ο ος Αλ λη λου ου ου ου ου ι ι ι ι α
Ε κ λει ποι εν α μαρ τω ω ω λοι α πο ο ο ο τη η
η η ης γη ης και α α α νο ο ο μοι οι οι ω στε
ε μη η υ υ πα α αρ χει ειν α α αυ τους δο ξα σοι οι οι
Πα α α τερ δο ξα α σοι Υι υι ε ε ε ε δο ο ξα α α σοι το Πνε
ε ευ μα α α το α α α α α α γι ι ι το α α γι ι
ο ον Τρι α ας α γι α δο ο ο ξα α α α σοι δο ο
ξα α σοι οι ο Θε ο ο ο ο ος Αλ λη λου ου ου ι ι
ι ι α


Ε υ λο ο ο ο γει η ψυ χη η η η μου το ον
Κυ υ υ ρι ι ι ι ον ο Η λι ο ος ε ε ε γνω τη ην
δυ υ υ σι ιν α α αυ του ε ε ε ε ε θου σκο ο ο
τος και ε γε ε ε νε ε το ο ο νυ υξ δο ο ξα α
σοι οι Βα σι λε ε ε ευ ε που ου ρα α α α α α α
νι ι ε ε που ρα α νι ι ι ε δο ο ξα α α σοι
Παν το κρα α α το ο ορ συ υ υν Υι υι ω ω και Πνε ευ
μα α α τι Δο ο ξα σοι οι ο Θε ε ο ος Α λ λ η λου ου ου
ι ι ι ι α
Ω ς ε με γα λυ υ υν θη η η τα ε ερ γ α σου ου Κυ ρι ι
ε πα α α α αν τα εν σο φι ι ι α ε ποι οι οι
η η η η σας δο ξα α σοι Πα α τε ερ α α γε ε εν


νη η η η τε δο ξα α σοι οι Υι ε ε ε ε ε γεν νη η τε
δο ο ξα α α α σοι το Πνε ευ μα το ο ο α γι ι
ο ον το εκ του Πα α τρο ος ε εκ πο ρε ευ ο ο ο
με ε ε ε νον και εν Υι ω α να παυ ο ο ο με ε
ε ε νον Τρι α ας α γι α δο ο ο ξα α α α σοι δο
ο ξα α σοι οι ο Θε ο ο ο ο ος Αλ λη λου ου ου
ι ι ι ι α
Δ ο ο ξα Πα α τρι ι ι ι και Υι υι ω και αι
α α γι ω Πνε ε ευ μα α α α τι
Κ αι νυ υ υ υν και α α ει και εις τους αι ω ω να α
ας των αι ω ω ω νω ων α α α μην




τὰ εἰρηνικὰ

## Ἦχος Νη

Δημητρίου Σουρλαντζή
Θ. Λειτουργία 1992 σ.1*




ΝΗ
Κ υ ρι ε ε λε ε ε η σον
ΝΗ ΔΙ
Κ υ ρι ε ε λε ε ε η σον
ΝΗ
Κ υ ρι ε ε λε ε ε η σον
ΝΗ
Κ υ ρι ε ε λε ε ε η σον
ΝΗ
Κ υ ρι ε ε λε ε ε ε η σον
ΝΗ
Κ υ ρι ε ε λε ε ε η σον
ΝΗ
Κ υ ρι ε ε ε λε ε η σον
ΝΗ
Κ υ ρι ε ε ε λε η σον
ΝΗ
Κ υ ρι ε ε λε η σον
ΝΗ ΠΑ
Κ υ ρι ε ε λε ε η σον
ΝΗ
Κ υ ρι ε ε λε ε ε η σον
ΝΗ
Σ οι Κ υ ρι ε

ἕτερα

Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.




χοροστατοῦντος ἀρχιερέως




π. Ἱεροθέου Ιερομονάχου
Αθωνική Μουσική Ανθοδέσμη
Εσπερινός 1991 σ.97-99#




## Ἐπιλύχνιοι Ψαλμοί

ἦχος β´
Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· εἰσάκουσόν μου Κύριε. Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου, πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ, εἰσάκουσόν μου Κύριε.
Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου, ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή, εἰσάκουσόν μου Κύριε.

## Ἰωάννου Πρωτοψάλτου




Ἰωάννου Πρωτοψάλτου
Αναστασιματάριον 1905 σ.53#






## Στιχολογία

Ἰωάννου Πρωτοψάλτου

### Ἦχος Δι.

Ἰωάννου Πρωτοψάλτου
Αναστασιματάριον 1905 σ.54#


Θ ου Κυ ρι ε φυ λα κην τ ω στο μ α τι ι μου και θυ ραν π ε
ρι ο χης π ε ρι τα χει λη μου
Μ η εκ κλι νης την καρ δι αν μου εις λο γους π ο νη ρι
ι ι ας του προ φα σι ζε σθαι προ φα σεις εν α μαρ τι ι ι
αις
C υν αν θρω ποις ερ γ α ζο με νοις την α νο μι ι ι αν
και ου μη συν δυ α σω με τα των ε κλε κτων αυ των
Π αι δευ σει με δι και ος εν ε λε ει και ε λεγ ξει με ε λαι ον
δε α μαρ τω λου μη λι πα να τ ω την κε φα λη η ην μου
Ο τι ε τι και η προσ ευ χη μου εν ταις ευ δο κι αις αυ
των κα τε πο θη σαν ε χο με να πε τρας οι κρι ται αυ των


Α κου σον ται τα ρη μα τα μου ο τι η δυν θη σαν ω σει πα
χος γης ερ ρα γ η ε πι της γης δι ε σκορ πι σθη τα ο στα αυ των πα ρα τον
α α α δην
Ο τι προς σε Κυ ρι ε Κυ ρι ε οι ο φθαλ μοι οι οι
μου ε πι σοι η λ πι σα μη αν τ α νε λης την ψυ χη ην μου
Φ υ λα ξον με α πο πα γι δος ης συ νε στη σαν το μοι και α
πο σκαν δα λων των ερ γα ζο με νων την α νο μι ι αν
Π ε σουν ται εν αμ φι βλη στρω αυ των οι α μαρ τ ω λοι κα τα
μο νας ει μι ε γω ε ως αν πα ρε ελ θω
Φ ω νη μου προς Κυ ρι ον ε κε κρα ξα φω νη μου προς Κυ ρι
ον ε δε η θην


Ε κ χε ω ε νω πι ον αυ του την δε η σι ι ιν μου την
θλι ψιν μου ε νω πι ον αυ του α παγ γε λω
Ε ν τω εκ λει πειν εξ ε μου το πνευ μ α μου και συ ε γνως τας τρι
βους μου
Ε ν ο δω ταυ τ η η ε πο ρευ ο ο ο μην ε κρυ ψαν
πα γι δα μοι
Κ α τε νο ουν εις τα δε ξι α και ε πε βλε πον και ουκ
ην ο ε πι γι νω σκων με
Α πω λε το φυ γη απ ε μου και ουκ ε στιν ο εκ ζη
τω ων την ψυ χη η ην μου
Ε κε κρα ξα προς σε Κυ ρι ε ει πα συ ει η ελ
πι ις μου με ρις μου ει εν γη ζω ων των




**Στιχηρὰ Προσόμοια τοῦ Ἁγίου Κλήμεντος.**
**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.**

Κλῆμα τῆς ἀμπέλου τῆς ζωῆς, ὤφθης μυστικῇ γεωργίᾳ, περισκαπτόμενον· πόνοις γὰρ ἀσκήσεως, Κλήμη τεμνόμενος, τῷ δὲ ξίφει τρυγώμενος, τῷ τοῦ μαρτυρίου, οἶνον κατανύξεως, ἡμῖν ἐκέρασας· οὗ νῦν ἐμφορούμενοι πάντες, πίστει τὴν πανίερον μνήμην, τὴν σὴν ἑορτάζομεν θεσπέσιε.

Ὅτε ἱερούργεις τὴν φρικτήν, καὶ τελειοτάτην θυσίαν, καὶ ὑπερκόσμιον, τότε προσενήνεξαι, ἱερουργούμενος· τὸ σὸν αἷμα δὲ πάνσοφε, προθύμῳ καρδίᾳ,

αἵματι συνέμιξας, τῷ τοῦ Δεσπότου σου· ᾧ σὺ ῥαντιζόμενος Κλήμη, ὅλος καθαρὸς ἀνεδείχθης, ὅλος ἱερώτατος θεσπέσιε.

Θύων τὸν Ἀμνὸν τὸν τοῦ Θεοῦ, τὸν τῆς ἁμαρτίας τὸν κόσμον, ἀποκαθαίροντα, καὶ φθορὰν καὶ θάνατον, ἐξαφανίσαντα, ἱερεῖον ὡς ἄμωμον, ἐτύθης θεόφρον, σύμφυτος γενόμενος, τῷ ὁμοιώματι, Κλήμη ζωηφόρου θανάτου· νῦν δὲ τῆς αὐτοῦ βασιλείας, ἀξιομακάριστε τετύχηκας.

Βάψας τῶν αἱμάτων σου ῥοαῖς, τῆς ἱεραρχίας τὴν χλαῖναν, Κλήμη πανένδοξε, χαίρων ἐξεδήμησας, πρὸς τὸν ποθούμενον, τὸν σοφὸν Ἀγαθάγγελον, τῶν ἄθλων σου ἔχων, καὶ τῆς ἀκηράτου σου, δόξης συμμέτοχον. Ὅθεν σὺν αὐτῷ παῤῥησίᾳ, πρέσβευε Χριστῷ ὑπὲρ πάντων, τῶν ἀνευφημούντων σε ἐν ᾄσμασιν.

**Στιχηρὰ Προσόμοια τοῦ Ἁγίου Ἀγαθαγγέλου.**
**Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.**

Α᾿γαθαῖς ἀγγελίαις σε, συνοδίτην καὶ σύναθλον, Κλήμης ὁ πανάριστος κατεπλούτησε· μεθ᾿ οὗ τοὺς δρόμους διήνυσας, τοὺς θείους στρεβλούμενος, καὶ παντοίοις ἀλγεινοῖς, ὁμιλῶν Ἀγαθάγγελε, ἕως τέλειος, γεγονὼς στεφανίτης πρὸς τὰ ἄνω, μεταβέβηκας Ἀγγέλοις, συνεπαγάλλεσθαι πάντοτε.

Καὶ ξεσμοῖς δαπανώμενος, καὶ πυρὶ λιπαινόμενος, καὶ λαμπάσι πάντοθεν φλογιζόμενος, ἐπὶ κραββάτου ἁπλούμενος, σοφὲ Ἀγαθάγγελε, καὶ ὡς ἄρτος καθαρός, ἐπ᾿ ἀνθράκων ὀπτώμενος, προσενήνεξαι, οὐρανίῳ τραπέζῃ ἱκετεύων, τοὺς ἐν πίστει σε τιμῶντας, πάσης ῥυσθῆναι κολάσεως.

Ρ῾αβδισμοὺς ἐκαρτέρησας· καὶ ἐν ξύλῳ τεινόμενος, σπαραγμοὺς ὑπήνεγκας καρτερώτατα· καὶ ἐπὶ τέλει τῶν ἄθλων σου, σοφὲ Ἀγαθάγγελε, ἐκτμηθεὶς τὴν κεφαλήν, ταῖς ῥανίσι τοῦ αἵματος, ὅλην ἤρδευσας, τὴν σεπτὴν Ἐκκλησίαν εὐφημοῦσαν, τὰς λαμπράς σου ἀριστείας, κλέος Μαρτύρων πολύαθλε.

Τῷ συνδέσμῳ τῆς πίστεως, ἀῤῥαγῶς συνδεόμενος, Κλήμεντι τῷ Μάρτυρι Ἀγαθάγγελε, αὐτῷ πιστῶς ἠκολούθησας, καὶ χαίρων συνήθλησας, ὑπομείνας διωκτῶν, καρτερῶς τὴν ὠμότητα. Ὅθεν ἔλαβες, σύν αὐτῷ ἀφθαρσίας τοὺς στεφάνους, καὶ παρέστης τῷ Κυρίῳ, διαπαντὸς εὐφραινόμενος.

**Δόξα. Ἦχος πλ. β΄.**

Σήμερον λαμπρῶς τῇ οἰκουμένῃ, ἡ τῶν Ἁγίων Μαρτύρων μνήμη, ὡς ἥλιος εὐσεβείας ἀνέτειλε, τῶν γηγενῶν τὰς ψυχὰς καταυγάζουσα, τῶν ἐν ὁμοφροσύνῃ βοώντων· Χαίροις Ἱερομάρτυς Κλήμη σοφέ, ὁ διὰ τὴν μαρτυρίαν Χριστοῦ τοῦ Θεοῦ, ἐκτεταμένους ἐπὶ γῆς ἀγῶνας διανύσας, καὶ πρὸς οὐρανοὺς μεταστὰς αὐχενότμητος· χαίροις Ἀγαθάγγελε ἄνερ ἀγαθέ, ὁ ἐν μακρῷ τῷ χρόνῳ ἀπηνῶς βασανισθείς, καὶ τῶν Ἀγγέλων ὁμοδίαιτος γενόμενος, τῷ ξίφει ἀποτμηθεὶς τὴν κεφαλήν σου· Χαίροις ζεῦγος Ἀθλητῶν ἁγιόλεκτον, οἱ τῇ ὡραιότητι τῶν ἄθλων ὑμῶν, τὴν Ἐκκλησίαν καταφαιδρύναντες. Ἀλλ᾽ ὡς ἔχοντες παῤῥησίαν πρὸς Θεόν, ἐκτενῶς πρεσβεύετε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.**

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

# Εἴσοδος – Ἐπιλύχνιος Εὐχαριστία

## Σοφία. Ὀρθοί !

ἦχος β′
Φῶς ἱλαρὸν ἁγίας δόξης, ἀθανάτου Πατρός, οὐρανίου, ἁγίου, μάκαρος, Ἰησοῦ Χριστέ, ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς, ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς, διὸ ὁ κόσμος σὲ δοξάζει.

## Ἑσπέρας προκείμενον

Κυριακῇ ἑσπέρας
ψαλμός 133:1

### Ἦχος Νη

πρωτ.Κων.Παπαγιάννη
Αντιφωνάριον 2009 σ.59#




∴ Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.




Δευτέρᾳ ἑσπέρας
ψαλμός 4

### Ἦχος Βου

πρωτ.Κων.Παπαγιάννη
Αντιφωνάριον 2009 σ.59#




∴ Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου· ἐν θλίψει ἐπλάτυνάς με· οἰκτείρησόν με καὶ εἰσάκουσον τῆς προσευχῆς μου.




Τρίτη ἑσπέρας
ψαλμός 22

## Ἦχος Πα

πρωτ.Κων.Παπαγιάννη
Αντιφωνάριον 2009 σ.60#




∴ Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν.




Τετάρτη ἑσπέρας
ψαλμός 53

## Ἦχος Κε

πρωτ.Κων.Παπαγιάννη
Αντιφωνάριον 2009 σ.60#




∴ Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.




Πέμπτη ἑσπέρας
ψαλμός 120

Ἦχος λ̣ Βου

πρωτ.Κων.Παπαγιάννη
Αντιφωνάριον 2009 σ.61#




∴ Ἦρα τους ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.




Παρασκευῇ ἑσπέρας
ψαλμός 58

Ἦχος Γα

πρωτ.Κων.Παπαγιάννη
Αντιφωνάριον 2009 σ.61#




∴ Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεὸς καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με.




Σαββάτῳ ἑσπέρας
ψαλμός 92

Ἦχος λ/π Βου

πρωτ.Κων.Παπαγιάννη
Αντιφωνάριον 2009 σ.62#




∴ Ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. 92:1

∴ Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. 92:1




## Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα. (Κεφ. μγ΄ 9)

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὅν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός·

ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τὶς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. γ´ 1)**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**
**(Κεφ. ε’ 15)**

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ

ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ἡμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

**ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.**

**Ἦχος α΄.**

Τὴν ἁγιόλεκτον δυάδα, καὶ θαυμαστὴν ξυνωρίδα, Κλήμεντα τῆς Ἀγκύρας τὸν πρόεδρον, καὶ Ἀγαθάγγελον τῆς Ῥώμης τὸ βλάστημα, οἱ εὐσεβεῖς τοῖς ἐπαίνοις καταστέψωμεν. Οὗτοι γὰρ οἱ μακάριοι, ὡς Μάρτυρες οὐράνιοι τῆς ἀληθείας, ἀμείβοντες πόλεις καὶ χώρας, ἐν χρόνοις πολλοῖς διετέλεσαν, κακουχούμενοι καὶ βασανιζόμενοι, καὶ τοῖς βασάνοις πικρῶς ἀναλισκόμενοι, ἕως τοῦ ποθουμένου τέλους ἀξιωθέντες, πρὸς τὴν αἰωνίαν πατρίδα, τῷ διά ξίφους θανάτῳ ἐξεδήμησαν. Ὅθεν πρὸς αὐτοὺς ἐκβοήσωμεν· Ἀθλοφόροι μακάριοι, τῷ δοξάσαντι ὑμᾶς Χριστῷ τῷ Θεῷ, πρεσβεύετε ἐκτενῶς, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ὁ αὐτός. Ἀνατολίου.**

Τὸν θαυμαστὸν ἐν Ἱερεῦσι, Μάρτυρα Κλήμεντα, ἡ ἐν μακρῷ τῷ χρόνῳ δοκιμὴ τῶν αἰκισμῶν, τῆς εἰς ἀεὶ τῶν ἀγαθῶν ἐπιτυχεῖν, ἠξίωσε τρυφῆς· καὶ πλουτεῖ τὰ θεῖα, ὁ πολλοὺς πρὸς ἀγῶνας ἀλείψας, τῷ καθ᾽ αὐτὸν ὑποδείγματι, καὶ πείσας τὴν σάρκα, ἀνωτέρω φρονεῖν τοῦ θανάτου. Πρὸς ὃν οἱ πιστοὶ βοήσωμεν· Μεγαλομάρτυς ἀοίδιμε, ταῖς πρὸς Χριστὸν πρεσβείαις σου, τὰς

χρονίους ἐνστάσεις, λῦσον τῶν παθῶν ἡμῶν, καὶ ῥῦσαι τῶν δεινῶν ταῖς πρεσβείαις σου.

**Ἦχος β΄.**

Μάρτυς Ἀγαθάγγελε πολύαθλε, τοῦ θείου Κλήμεντος τῶν ἄθλων, τῇ μυστικῇ φωταυγείᾳ, καταυγασθεὶς τῆς καρδίας τὰ ὄμματα, αὐτῷ συναθλῶν ἠκολούθησας, καὶ Θεῷ προσανηνέχθης, θυσία καθαρὰ καὶ ἀμόλυντος· ἐν χρόνῳ γὰρ μακρῷ, ἐγκαρτερήσας σφοδρῶς βασανιζόμενος, ὡς ἀμνὸς τῷ ξίφει ἐσφαγιάσθης. Ὅθεν τῶν Μαρτύρων τὴν μάνδραν ἐπιβάς, τὸν ἀμνὸν τὸν τοῦ Θεοῦ, τὸν αἴροντα κόσμου τὴν ἁμαρτίαν, ἱκέτευε διαπαντός, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἦχος δ΄.**

Δεῦτε σήμερον πιστοί, τοὺς εὐκλεεῖς Ἀθλοφόρους τοῦ Κυρίου, τιμήσωμεν κράζοντες· Χαίροις Κλήμη πολύαθλε, ὁ ῥημάτων Χριστοῦ ὑπήκοος ὑπάρξας, καὶ ὑπὲρ τῆς ποίμνης γενναίως, τὴν καλὴν φυλάξας ὁμολογίαν· Χαίροις Ἀγαθάγγελε μακάριε, ὁ τοῦ θείου Σταυροῦ ὅπλῳ ἰσχύσας, καὶ ἀθλητικαῖς αἱμάτων σου ῥοαῖς, τῆς ἀθεΐας ξηράνας τὴν θάλασσαν. Χαίρετε Ἀθλοφόροι ἀήττητοι, οἱ ἄπειρα βάσανα ὑπενεγκόντες τῇ σαρκί, καὶ ὡς ἀμώμητα θύματα, Θεῷ τῷ ἐν Τριάδι προσενεχθέντες. Ἀλλὰ πρεσβεύετε ἀεὶ ὑπὲρ ἡμῶν, τῶν ἐκτελούντων ἐν ὕμνοις, τὸ ἱερὸν ὑμῶν μνημόσυνον.

**Ἦχος πλ. δ΄. Ἀνατολίου.**

Τὴν τῶν χρόνων τετραχῶς περίοδον, θεόληπτε ἑπταπλασίασας, τυπτόμενος, ξεόμενος, ἀμείβων πόλεις καὶ χώρας, σταυρούμενος ὑπὲρ τοῦ Χριστοῦ· ἀλλ' οὔτε πῦρ, οὔτε ξίφος, οὔτε μάστιγες, τὸ τῆς ψυχῆς σου ἔλυσαν στερέμνιον· ἔθραυσας δὲ δαιμόνων ἰσχύν, Ἱερομάρτυς Κλήμη, σύναθλον ἔχων τὸν σοφὸν Ἀγαθάγγελον· διὰ πρέσβευε σὺν αὐτῷ, Χριστῷ τῷ Θεῷ ἡμῶν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα. Ἦχος α΄.**

Πανεύφημοι Μάρτυρες, ὁ Χριστὸς ὑμᾶς ἐκραταίωσε, τὸν ἐν κακίᾳ νικῆσαι δυνατόν, καὶ κατευμεγεθῆσαι τῶν τούτου παγίδων, καὶ κυριεῦσαι αὐτοῦ τῆς δυνάμεως· διὸ γῆ καὶ θάλασσα βοῶσι, τὰ θαυμαστὰ παλαίσματα, τοὺς ἄθλους τοὺς μακρούς, τὴν ἀνδρείαν, τὴν καρτερίαν, τὴν νίκην, καὶ τὰ λαμπρὰ ἀριστεύματα· δι᾽ ὧν ὡς φωστῆρες λάμψαντες φαιδροί, τὴν Ἐκκλησίαν καταυγάζετε, τοῦ μαρτυρίου λαμπρῶς ταῖς φωτοχυσίαις. Ὅθεν σήμερον οἱ πιστοί, ἐπὶ τῇ μνήμῃ ὑμῶν συνελθόντες, ἱκετικῶς ἀνακράζομεν· Πρεσβεύετε ἐκτενῶς τῷ Κυρίῳ, Κλήμη σοφὲ καὶ Ἀγαθάγγελε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον**.

Α῾μαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐκ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ προσόμοια.**
**Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.**

Χαίροις ἡ τῶν Μαρτύρων δυάς, Κλήμης ὁ θεῖος, τῆς Ἀγκύρας Ἐπίσκοπος, καὶ Ῥώμης τῆς Πρεσβυτέρας, ὁ θεηγόρος βλαστός, ὁ δεδοξασμένος Ἀγαθάγγελος· τὰ ἄνθη τὰ εὔοσμα, παραδείσου τά πνέοντα, τῆς εὐσεβείας, εὐωδίαν τὴν ἄρρητον, καὶ εὐφραίνοντα, Ἐκκλησίας τὸ πλήρωμα· λύχνοι οἱ διαυγέστατοι, τῆς ἄνω ἐλλάμψεως, οἱ τοὺς πιστοὺς δᾳδουχοῦντες, τῇ φωταυγείᾳ τῆς χάριτος. Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

**Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.**

Χαίροις ὁ θεοφόρος ποιμήν, τῆς Ἐκκλησίας Ἱεράρχης ὁ ὅσιος, ὁ αἵματι μαρτυρίου, τὴν ἱεράν σου στολήν, πορφυρώσας Κλήμη ἀξιάγαστε· ὁ νοῦς ὁ οὐράνιος, νοημάτων τῆς χάριτος, στόμα τὸ θεῖον, τοῦ ἐνθέου κηρύγματος, ὁ διδάσκαλος, τῶν σεπτῶν ἀναβάσεων· κλῆμα τὸ εὐθαλέστατον, ἀμπέλου τῆς πίστεως, τὸ ἐξανθῆσαν πλουσίως, ἀθανασίας τοὺς βότρυας. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

**Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.**

Χαίροις ὁ Ἀθλοφόρος Χριστοῦ, ὁ τὸν ἀγῶνα μαρτυρίου τὸν κάλλιστον, τελέσας ἀνδρειοφρόνως, καὶ συναθλήσας καλῶς, Κλήμεντι τῷ θείῳ Ἀγαθάγγελε· ζωῆς γὰρ τῆς κρείττονος, εὐσεβῶς ὀρεγόμενος, κολαστηρίων, τῶν μακρῶν κατεφρόνησας, καὶ ὑπήνεγκας, διὰ ξίφους τὸν θάνατον. Ὅθεν ἐν τῇ ἀθλήσει σου, ἐχθροὺς τροπωσάμενος, παρὰ Θεοῦ ὑπεδέξω, ἀθανασίας τὸν στέφανον. Διὸ ἐκδυσώπει, ὑπὲρ πάντων τῶν τελούντων, τὴν θείαν μνήμην σου.

**Δόξα. Ἦχος β΄.**

Δεῦτε πάντες οἱ πιστοί, ᾀσματικῶς τοῖς ἐγκωμίοις, ἐπαινέσωμεν σήμερον, Κλήμεντα καὶ Ἀγαθάγγελον, τοὺς Μάρτυρας τῆς εὐσεβείας. Οὗτοι γὰρ ἀπὸ Χριστοῦ, τοῦ δι᾽ ἡμᾶς ἐλθόντος εἰς θάνατον, τῆς χάριτος λαμπρῶς μεμυημένοι, ὡς ἀκριβεῖς τούτου μαθηταί, μετὰ πολυχρονίους βασάνους καὶ κακώσεις, τῷ ξίφει ἀπηνῶς ἐθανατώθησαν. Ὅθεν νῦν ἐν οὐρανοῖς, τῆς ἀθανάτου ζωῆς τρυφῶντες, καὶ Ἀναστάσεως τῆς δόξης ἀπολαύοντες, ὑπὲρ ἡμῶν ἐκτενῶς ἱκετεύουσι, τῶν ἐκτελούντων αὐτῶν τὸ μνημόσυνον.

**Καὶ νῦν. Θεοτοκίον**.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

## Τρισάγιον

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς. (γ΄)
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.
Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.
Κύριε ἐλέησον. (γ΄)
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.
Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.
Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

## Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ξυνωρίδα τὴν θείαν, τῶν Μαρτύρων τιμήσωμεν, Κλήμεντα σοφὸν Ἱεράρχην, καὶ κλεινὸν Ἀγαθάγγελον· μακρᾷ γὰρ τῶν βασάνων δοκιμῇ, ἐνήθλησαν ἀνδρείως ἐπὶ γῆς, καὶ δεξάμενοι τὸ στέφος παρὰ Θεοῦ, προΐστανται τῶν βοώντων· Δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι δι᾽ ἡμῶν, ἡμῖν χάριν σωτήριον.

## Ἕτερον τοῦ Ἁγίου Κλήμεντος.
## Ἦχος δ΄.

Κλῆμα ὁσιότητος, καὶ στέλεχος ἀθλήσεως, ἄνθος ἱερώτατον, καὶ καρπὸς ὡς θεόσδοτος, τοῖς πιστοῖς πανίερε, ἡδύτατος ἐβλάστησας. Ἀλλ᾽ ὡς Μαρτύρων σύναθλος, καὶ Ἱεραρχῶν σύνθρονος, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## Ἕτερον τοῦ Ἁγίου Ἀγαθαγγέλου.
## Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Φωταυγείᾳ τῶν ἄθλων, τοῦ θείου Κλήμεντος, καταυγασθεὶς τὴν καρδίαν, τὴν ἐν μακρῷ δοκιμήν, τῶν βασάνων τῶν πολλῶν, στεῤῥῶς ὑπέμεινας, καὶ ἐκτμηθεὶς τὴν κεφαλὴν, Ἀγαθάγγελε ζωῆς, τῆς θείας κατηξιώθης. Ὅθεν Χριστὸν ἐκδυσώπει, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

## Τὸ ὁμόηχον Θεοτοκίον καὶ Ἀπόλυσις.

Ἀ π ό λ υ σ ι ς

Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε ἐλέησον.
Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθοι ἐφ᾽ ὑμᾶς, τῇ αὐτοῦ θείᾳ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.
Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

κατὰ τὴν ἀπόλυσιν

Ἦχος Δι.

Δημητρίου Σουρλαντζή
Βυζαντινή Θεία Λειτουργία
1992 σ.563#







Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.
Ἀμήν.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

Ἀμήν.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς. (γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε ἐλέησον. (γ΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι, κατὰ βαρβάρων δωρούμενος καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός, εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε, μὴ παρίδῃς, ἀγαθή, τὰς ἱκεσίας ἡμῶν, πανύμνητε Θεοτόκε, στήριξον ὀρθοδόξων πολιτείαν, σῷζε οὓς ἐκέλευσας βασιλεύειν καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην, διότι ἔτεκες τὸν Θεόν, μόνη εὐλογημένη.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Κύριε, ἐλέησον. (γ´)

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε, ἐλέησον. (γ´)

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν. Ἐν ὀνόματι Κυρίου, εὐλόγησον, πάτερ.

Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

## Ἑ ξ ά ψ α λ μ ο ς

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. (γ´)

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. (β´)

ψαλμὸς γ´

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; Πολλοὶ ἐπανίστανται ἐπ’ ἐμὲ.

Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.

Σὺ δὲ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου, καὶ ὑψῶν τὴν κεφαλήν μου.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.

Ἐγὼ ἐκοιμήθην, καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι.

Ἀνάστα, Κύριε, σῶσόν με ὁ Θεός μου· ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως· ὀδόντας ἁμαρτωλῶν συνέτριψας.

Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

καὶ πάλιν

Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην ὅτι Κύριος ἀντιλήψεταί μου.

ψαλμὸς λζ´ 37

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ’ ἐμὲ τὴν χεῖρά σου.

Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.

Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ’ ἐμὲ.

Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.

Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους· ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.

Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.

Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα· ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.

Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.

Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ᾽ ἐμοῦ.
Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.
Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου· καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.
Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.
Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμοὺς.
Ὅτι ἐπὶ σοὶ, Κύριε, ἤλπισα· σὺ εἰσακούσῃ, Κύριε, ὁ Θεός μου.
Ὅτι εἶπον· μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου, ἐπ᾽ ἐμὲ ἐμεγαλοῤῥημόνησαν.
Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διαπαντὸς.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.
Οἱ δὲ ἐχθροί μου ζῶσι, καὶ κεκραταίωνται ὑπὲρ ἐμὲ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.
Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν, ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.
Μὴ ἐγκαταλίπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ.
Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

καὶ πάλιν

Μὴ ἐγκαταλίπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ.
Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

ψαλμὸς ξβ′ 62

Ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.
Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου, ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.
Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.
Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωὰς· τὰ χείλη μου ἐπαινέσουσί σε.
Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.
Ὡς ἐκ στέατος καὶ ποιότητος ἐμπλησθείη ἡ ψυχή μου· καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.
Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σὲ.
Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου· ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.
Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου· εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς.
Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.
Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ· ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγῃ στόμα λαλούντων ἄδικα.

καὶ πάλιν

Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σὲ, ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου· ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.
Ἀλληλούια, Ἀλληλούια, Ἀλληλούια, Δόξα σοι ὁ Θεὸς. (γ᾽)
Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ψαλμὸς πζ′ 87

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.
Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.
Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ ᾌδῃ ἤγγισε.
Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον· ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος.
Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.
Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς, καὶ ἐν σκιᾷ θανάτου.
Ἐπ᾽ ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ᾽ ἐμὲ.
Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ᾽ ἐμοῦ· ἔθεντό με βδέλυγμα ἑαυτοῖς·
Παρεδόθην, καὶ οὐκ ἐξεπορευόμην· οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.
Ἐκέκραξα πρὸς σὲ, Κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.
Μή τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι;
Μή διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;
Μή γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;
Κᾀγὼ πρὸς σὲ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.
Ἵνα τί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ;
Πτωχὸς εἰμι ἐγὼ, καὶ ἐν κόποις ἐκ νεότητός μου· ὑψωθεὶς δὲ, ἐταπεινώθην καὶ ἐξηπορήθην.
Ἐπ᾽ ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.
Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα.
Ἐμάκρυνας ἀπ᾽ ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

καὶ πάλιν

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.
Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

ψαλμὸς ρβ′ 102

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.
Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.
Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.
Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.
Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.
Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.
Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.
Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.
Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.
Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτὸν.
Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν.
Καθὼς οἰκτείρει πατὴρ υἱοὺς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτὸν· ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν.
Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει.
Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.
Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτὸν.
Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτὰς.
Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.
Εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.
Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ Δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ.
Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

*καὶ πάλιν*

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασιν τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῗ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου· Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

*καὶ πάλιν*

Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. *(β')*

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἀλληλούια, Ἀλληλούια, Ἀλληλούια. Δόξα σοι ὁ Θεός. *(γ')*

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

## Συναπτὴ

*Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.*

Κύριε, ἐλέησον. *(μετά ἀπό κάθε δέησιν)*

*Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.*

*Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.*

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν, τοῦ τιμίου πρεσβυτερίου τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῆς πόλεως καὶ ἐνορίας ταύτης, πάσης πόλεως, χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Σοί, Κύριε.
Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

**Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.**

**Ἦχος α΄. Τὸν τάφον σου.**

Επέλαμψεν ἰδού, εὐφροσύνης ἡμέρα, ἡ μνήμη ἡ σεπτή, τῶν ἐνδόξων Μαρτύρων, ἐν ᾗ ἐπαγαλλόμενοι, οἱ πιστοὶ ἐκβοήσωμεν· Κλῆμη ἔνδοξε, καὶ Ἀγαθάγγελε μάκαρ, ἱκετεύσατε, ὑπὲρ ἡμῶν παῤῥησίᾳ, Χριστὸν τὸν φιλάνθρωπον.

**Δόξα. Ὅμοιον.**

Χριστὸν τὸν δι᾽ ἡμᾶς, ἑκουσίως παθόντα, ποθήσαντες θερμῶς, δι᾽ αὐτὸν τὰς βασάνους, καὶ θάνατον τὸν ἄδικον, ὁμοφρόνως ὑπέστητε, Κλῆμη πάνσοφε, καὶ Ἀγαθάγγελε θεῖε, ἀνθ᾽ ὧν εὕρατε, ἐν οὐρανίοις θαλάμοις, τρυφὴν τὴν ἀδάπανον.

**Καὶ νῦν. Θεοτοκίον.**

Παράδεισος τερπνός, ἀληθῶς ἀνεδείχθης, ὡς τίμιον ζωῆς, ἐκβλαστήσασα ξύλον, τῆς φύσεως Πανάχραντε, φυτουργὸν τὸν οὐράνιον, παρεχόμενον, φιλανθρωπίᾳ ἀφάτῳ, τὴν ἀνάστασιν, τοῖς νεκρωθεῖσιν ἀθλίως, Παρθένε τοῖς πάθεσι.

**Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.**
**Ἦχος γ΄. Θείας πίστεως.**

Θείας πίστεως, τῇ παντευχίᾳ, ἐκπορθήσαντες, τὰς ὀχυρώσεις, τῶν εἰδώλων τῆς πλάνης πολύαθλοι, τῆς ἀφθαρσίας τὸ στέφος ἐδέξασθε, καὶ ἐν Ἁγίων σκηναῖς κατεπαύσατε, πρυτανεύοντες, ὦ Κλήμη καὶ Ἀγαθάγγελε, τῶν θείων δωρεῶν ἡμῖν τὸ πλήρωμα.

**Δόξα. Ὅμοιον.**

Ὡς ὁμόφρονες, τῇ εὐσεβείᾳ, κατῃσχύνατε, τῆς ἀσεβείας, τὰς ἐπάρσεις γενναίως ἀθλήσαντες, Κλήμη παμμάκαρ στεῤῥότητος ἄγαλμα, καὶ τῆς ἀνδρείας λαμπὰς Ἀγαθάγγελε. Ὅθεν πάντοτε, Χριστῷ τῷ Θεῷ πρεσβεύετε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Καὶ νῦν. Θεοτοκίον**.

Νόμους φύσεως, καινοτομήσας, ἐξ αἱμάτων σου, Πατρὸς ὁ Λόγος, ἐνηνθρώπησεν Κόρη Ἀπείρανδρε, καὶ διὰ πάθους τιμίου ἐλύτρωσε, προγονικῆς ἁμαρτίας τὸν ἄνθρωπον. Ὅθεν πρέσβευε, αὐτῷ ὡς Υἱῷ σου Ἄχραντε, σωθῆναι τοὺς πιστῶς σε μακαρίζοντας.

**Μετὰ τὸν Πολυέλεον, Κάθισμα.**
**Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.**

Τοὺς γενναίους οἱ πιστοί, τῆς εὐσεβείας Ἀθλητάς, εὐφημήσωμεν λαμπρῶς, ἐν ἐγκωμίοις ἱεροῖς, ἐπιτελοῦντες ἀξίως αὐτῶν τὴν μνήμην, τὸν καρτερικόν, θεῖον Κλήμεντα, καὶ τὸν θαυμαστόν, Ἀγαθάγγελον, τοὺς μαρτυρίου ἄθλοις ὡς

φωστῆρας, τῇ οἰκουμένῃ ἀστράψαντας· αὐτοὺς γὰρ πρέσβεις, ἔχομεν θείους, πρὸς Χριστὸν τὸν Σωτῆρα.

**Δόξα. Ὁ αὐτός. Ταχὺ προκατάλαβε.**

Ἰσχὺν ἐνδυσάμενοι, τοῦ Βασιλέως Χριστοῦ, πολλοὺς διηνύσατε, ἀγῶνας ἐπὶ τῆς γῆς, καὶ ξίφει ἠθλήσατε, Κλήμη Ἱερομάρτυς, ὁσιότητος κλῆμα, κρείττονος μαρτυρίας, Ἀγαθάγγελε ἄνθος. Διὸ ὑπὲρ ἡμῶν τῷ Θεῷ, πρεσβεύετε πάντοτε.

**Καὶ νῦν. Θεοτοκίον.**

Χριστὸν ἡ κυήσασα, τὸν Ποιητὴν τοῦ παντός, τὸν νοῦν μου ἀπάλλαξον, τῶν ψυχοφθόρων παθῶν, ἁγίᾳ σου χάριτι, ἵνα ἐν κατανύξει, Θεοτόκε Μαρία, κράζω σοι εὐγνωμόνως, τοῦ Ἀγγέλου τὸ Χαῖρε· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

**Οἱ Ἀναβαθμοί, ἤτοι τὸ α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.**

α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου

Πέτρου Λαμπαδαρίου

σύντομον

Ἦχος Βου

Ιωάννου Πρωτοψάλτου
Αναστασιματάριον 1905 σ.176#






Πέτρου Λαμπαδαρίου

ἀργόν

Ἦχος Βȣ


Ε κ νε ο τη το ος μου πο ο ολ λα α α πο λε ε μει
με ε ε πα α α θη η αλλ αυ τος α αν τι λα α α βου ου ου
και σω ω σον Σω ω ω τη η ηρ μου ου (β΄)
Οι μι σου ουν τες σι ω ων αι σχυν θη τε ε ε α πο ο του
Κυ υ ρι ι ι ου ου ως χο ο ορ το ο ος γα αρ πυ
ρι ε σε ε σθε ε ε ε α πε ε ξη ρα α α με ε ε νοι
οι (β΄)
Δο ξα Πα τρι και Υι ω ω και Α γι ω Πνευ μα α τι ι
Αγι ω Πνε ευ μα τι πα α α σα ψυ υ χη η ζω ω ου ου ου
ται αι και αι αι αι κα θαρ σει υ υ ψου ται αι λαμ πρυ υ υ υ νε
ε ε ται αι τη η Τρι α δι κη η μο να α α δι ι ι ι
ε ε ρο κρυ υ υ φι ι ι ω ως




**Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ. Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.**

**Εὐαγγέλιον, ζήτει τῇ κγ΄ Ἀπριλίου.**

ν΄ ψαλμός

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.
Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διὰ παντός.
Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τε ταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφοράν, καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Δόξα.Ταῖς τοῦ Ἀθλοφόρων... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...**

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**

**Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.**

Πανεύφημοι Μάρτυρες, Κλήμη καὶ Ἀγαθάγγελε πολύαθλοι, τὴν διὰ ξίφους μαρτυρίαν, ὡς τῆς εὐσεβείας ὑπέρμαχοι λαβόντες, τῆς βασιλείας τῶν οὐρανῶν, ἀξίως προεκρίθητε. Ὅθεν ἐν αὐτῇ, τῷ δι᾿ ἡμᾶς παθόντι ἐν Σταυρῷ, αἰωνίως συμβασιλεύοντες, τὴν εἰρήνην τῷ κόσμῳ αἰτεῖσθε, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

**Σῶσον, ὁ Θεός, τὸν λαόν σου...**

**Εἶτα· οἱ Κανόνες, τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς στ΄ καὶ τῶν Ἁγίων εἰς η΄. Κανὼν τοῦ Ἁγίου Κλήμεντος, οὗ ἡ Ἀκροστιχίς· «Μέλπω τὸ κλῆμα τῆς νοητῆς ἀμπέλου». Ποίημα Θεοφάνους.**

**Ὠιδὴ α΄. Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας.**

Μετὰ τῆς ἄνω χορείας ὡς Ἱερεύς, καὶ ὡς Μάρτυς ἔνδοξος, τῷ Χριστῷ παρεστηκώς, ἐκτενῶς ἱκέτευε τυχεῖν, τῆς ἐλλάμψεως τῆς σῆς, τοὺς εὐφημοῦντάς σε.

Ἐ΄κτεταμένους ἀγῶνας ἐπὶ τῆς γῆς, διανύσας Ὅσιε, βασιλείας οὐρανῶν, ἠξιώθης στέφανον λαβεῖν, καὶ αἰώνιον ζωήν, τὴν ἀκατάλυτον.

Λελυτρωμένος τῷ πάθει τοῦ ἀπαθοῦς, διὰ πάθους ἔσπευσας, πρὸς αὐτὸν ἀναδραμεῖν, μιμητὴς γενόμενος παθῶν, μάκαρ Κλήμη τῶν αὐτοῦ, Ἀγγέλων σύσκηνε.

**Θεοτοκίον.**

Πεποικιλμένη τῷ κάλλει τῶν ἀρετῶν, Θεομῆτορ Ἄχραντε, τὸν Θεὸν τὸν ἀληθῆ, ὑπὲρ νοῦν συνέλαβες ἡμῖν, τὴν πηγὴν τῶν ἀγαθῶν, ἀναπηγάσασα.

Κανὼν τοῦ Ἁγίου Ἀγαθαγγέλου, οὗ ἡ Ἀκροστιχίς· «Τὴν σὴν ἀνυμνῶ Παμμάκαρ χαίρων χάριν». Ποίημα Ιωσήφ.

**Ἦχος δ΄. Ὁ πατάξας Αἴγυπτον.**

Τὸν κλεινὸν ἐν Μάρτυσι, τῶν Ἀθλητῶν τὸ καύχημα, τὸν Ἄγγελον τῇ κλήσει, γεγενημένον καὶ τῇ πράξει, χαρμονικῶς σήμερον, τιμήσωμεν ἐν πίστει, καὶ μακαρίσωμεν.

Ἠ΄ξιώθης ἔνδοξε, τῆς τῶν Μαρτύρων εὐκλείας, ἀθλοῦντα θεωρήσας, μεγαλοφρόνως ἐν τῇ Ῥώμῃ, τὸν ἱερὸν Κλήμεντα· μεθ᾽ οὗ σε συνελθόντες, πίστει γεραίρομεν.

Νεκρωθεὶς μακάριε, παντὶ τῷ κόσμῳ ἔδραμες, τὴν νέκρωσιν κηρύττων, τοῦ Ζωοδότου ἐν σταδίῳ· καὶ ὑποστὰς βάσανα, ζωῆς ἀδιαδόχου, νῦν κατηξίωσαι.

**Θεοτοκίον.**

Σαρκωθέντα Κύριον, δι᾽ εὐσπλαγχνίαν ἄφατον, ἐκύησας Παρθένε· ὃν Ἀγαθάγγελος ποθήσας, ἔξω σαρκὸς γέγονε, ἀθλήσας παραδόξως· μεθ᾽ οὗ ὑμνοῦμέν σε.

**Τοῦ Ἱερομάρτυρος. Ὠιδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.**

Ω῾ραίους ἤνεγκας καρπούς, κλῆμα τῆς ζωηφόρου, χρηματίσας ἀμπέλου· καὶ τούτους μαρτυρικαῖς, κοσμήσας μαρμαρυγαῖς, τῷ Σωτῆρι, πάντων καθιέρωσας.

Τοῦ Παύλου ὤφθης μιμητής, πᾶσαν τὴν οἰκουμένην, διατρέχων παμμάκαρ, βαπτίσματι θεουργῷ, καὶ αἵματος ῥαντισμῷ, ἁγιάζων, τῆς ὁμολογίας σου.

**Θεοτοκίον.**

Οὐκ ἔστιν ἄμεμπτος ὡς σύ, Πάναγνε Θεομῆτορ· μόνη γὰρ ἐξ αἰῶνος, τὸν Θεὸν τὸν ἀληθῆ, καὶ πάντων Δημιουργόν, Θεὸν Λόγον Πάναγνε ἐκύησας.

**Τοῦ Μάρτυρος. Ἐστερεώθη ἡ καρδία μου.**

Υ῾μνολογῶ σου τοὺς ἀπείρους παμμάκαρ πόνους, τὰς στρεβλώσεις καὶ τὰς πολλὰς αἰκίσεις, τὴν ἀνδρείαν, τοὺς ξεσμούς, καὶ τὸν θάνατον· δι᾽ ὧν ἠξιώθης, ζωῆς Ἀγαθάγγελε.

Μετὰ μυρίους αἰκισμούς σε καὶ ἀλγηδόνας, ῥαβδισμούς τε καὶ ξέσεις Ἀθλοφόρε, ὑποβρύχιος θαλάσσῃ, δέδοσαι ἔνδοξε· ἐξ ἧς ὁ τῶν ὅλων, Δημιουργός σε ἐῤῥύσατο.

Νεανικῶς τε καὶ ἀνδρείως γενναῖε Μάρτυς, πυρακτώσεις ὑπήνεγκας τῶν ἥλων, καιομένης τῆς σαρκός, καὶ ἄνωθεν δρόσον δεχομένης, ὑπομονῆς Ἀγαθάγγελε.

**Θεοτοκίον.**

Ω῍ παραδόξου μυστηρίου! πῶς ἡ Παρθένος, πλατυτέρα τῶν οὐρανῶν ἐδείχθη, ἐν νηδύϊ τὸν ἀπεριόριστον, ἀστενοχωρήτως χωρήσασα.

**Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τοῦ μαρτυρίου ἀληθῶς τῇ δρεπάνῃ, κατατεμνόμενος σοφὲ Ἱεράρχα, ὡς καρποφόρος ἄμπελος ἐξήνθησας, βότρυας περκάζοντας, καὶ σταλάζοντας γλεῦκος, θείας ἐπιγνώσεως, καὶ ἀθλήσεως Πάτερ· ἐξ ὧν μετέχων πᾶς τις εὐσεβῶς, καταγλυκαίνει ψυχῆς αἰσθητήρια.

**Δόξα. Ὁ αὐτός. Ἐπεφάνης σήμερον**.

Α᾽γαθόν σε ἄγγελον, γεγενημένον, θεοσδότοις λάμψεσιν, ἀνευφημοῦντες εὐσεβῶς, ἐπιτελοῦμεν τὴν μνήμην σου, κλέος Μαρτύρων, σοφὲ Ἀγαθάγγελε.

**Καὶ νῦν. Θεοτοκίον.**

Προστασία ἄμαχε, τῶν θλιβομένων, καὶ πρεσβεία ἕτοιμε, τῶν ἀπορούντων ἐν δεινοῖς, ἀπὸ κινδύνων με λύτρωσαι· μή με παρίδῃς, **ἡ πάντων ἀντίληψις.**

**Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.**

Τῆς ἀμπέλου γέγονας, τίμιον κλῆμα, τοῦ Χριστοῦ πανεύφημε, Κλήμη πολύαθλος ὀφθείς, σὺν τοῖς συνάθλοις τε ἔκραζες· Χριστὲ Μαρτύρων φαιδρὸν ἀγαλλίαμα.

**Ὁ Οἶκος. Τῇ Γαλιλαίᾳ τῶν Ἐθνῶν.**

Υἱὸς φωτὸς ἀναδειχθείς, Θεοῦ συγκληρονόμος, ὡς Ἠλιοὺ ὁ θεῖος, τὸν Ἀχαάβ ἤλεγξεν, οὕτω καὶ σύ, Κλήμη σοφέ, Βασιλεῖς ἀνόμους, καὶ τυράννους ἀπηνεῖς, Ἑλλήνων τοὺς πρωτεύοντας, ἐν λόγῳ καὶ ἀληθείᾳ ἐνίκησας, καὶ προσάγεις θῦμα τῷ Κυρίῳ νῦν, τὰ πλήθη τῶν εἰς Χριστὸν πιστευσάντων. Διό, κοινωνὸν τῆς σῆς μαρτυρίας Ἀγαθάγγελον εὑρών, πόλεις ἐναθλῶν συνώδευσας, φαιδρῶς κραυγάζων· Χριστέ, Μαρτύρων φαιδρὸν ἀγαλλίαμα.

**Μηνολόγιον.**

**Τῇ ΚΓ΄ τοῦ αὐτοῦ μηνὸς (Ἰανουαρίου), Μνήμη τοῦ Ἁγίου ἐνδόξου Ἱερομάρτυρος Κλήμεντος Ἐπισκόπου Ἀγκύρας καὶ τοῦ Ἁγίου Μάρτυρος Ἀγαθαγγέλου.**

Στίχοι.
Ἀγαθαγγέλου καὶ Κλήμεντος αἱμάτων,
Τὸ τοῦ ξίφους δίψαιμον ἐπλήσθη στόμα.
Εἰκάδι δ᾽ ἐτμήθητε τρίτῃ Ἀγαθάγγελε, Κλήμη.

**Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Εὐσεβίου.**

Στίχοι.
Δεῦρο πρὸς ἡμᾶς εἰς τὰ τερπνὰ τοῦ πόλου,
Εὐσεβίῳ λέγουσιν οἱ τερπνοὶ νόες.

**Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μαϋσιμᾶ τοῦ Σύρου.**

Στίχοι.
Γλώσσαις λαλῶν πρὶν Μαϋσιμᾶς τῶν Σύρων,
Γλώσσαις λαλεῖ νῦν Ἀγγέλων πρὸς Ἀγγέλους.

**Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Σαλαμάνου τοῦ ἡσυχαστοῦ.**

Στίχοι.
Οἴχῃ χαμερποῦς καὶ χαμαιζήλου βίου,
Ὑψηλὲ πράξει καὶ λόγῳ Σαλαμάνη.

**Τῇ αὐτῇ ἡμέρα, οἱ Ἅγιοι Δύω Μάρτυρες οἱ ἐν τῷ Παρίῳ, λάκκῳ ἐμβληθέντες, τελειοῦνται.**

Στίχοι.

Ἔνδον βόθρου χωροῦσι Μάρτυρες δύω,
Θείου πόθου βάλλοντος ἔξω τὸν φόβον.

**Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Διονυσίου, τοῦ ἐν Ὀλύμπῳ.**

Στίχοι.

Ἐν σαρκὶ ὡς ἄσαρκος ἔζησας Πάτερ,
Καὶ τοῖς ἀσάρκοις νῦν συνευφραίνῃ Νόοις.

**Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.**

Καταβασίαι τῆς Ὑπαπαντῆς

Σύντομοι

Πέτρου Λαμπαδαρίου τοῦ Πελοποννησίου

ᾠδὴ α΄

**Ἦχος Γα**

Ἰωάννου Πρωτοψάλτου
Ειρμολόγιον 1903 σ.286#




Τ ο στε ρε ε ω μα των ε πι σοι π ε ε ποι θο ο ο των
στε ρε ω σον Κυ ρι ε την Εκ κλη σι ι αν ην ε κτη σω
χορὸς α΄
τω τι μι ι ω σου αι αι μ α α τι
ᾠδὴ δ΄
Є κα α λυψεν ου ρα νους η α ρε τη σου Χρι στε της κι
βω του γαρ προ ελ θων του α γι α σματοςσουτης α α φθο ο ρουμη
τρος εν τω να ω της δο ξης σου ω φθη ησως βρε φος αγ κα
λοφο ο ρου ουμε ε νος και ε πλη ρω θητ α πα αν τ α της σης αι
νε ε σε ε ως
ᾠδὴ ε΄
ω ς ει δεν Η σα ι ας συμ β ο λι κως εν θρο νω ε πηρ
με νω Θε ον υπ Αγ γε λων δο ξηςδορυφο ο ρου ουμε ε νον ω τ α α λας
ε βο α ε γω προ γαρ ει δον σωμ α του με νον Θε ον φω
τος α α νε σπε ρου και ει ρη η νης δε σπο ο ζο ον τα
ᾠδὴ ς΄


Ε βο ο ο η σε ε ε σοι ι δων ο πρε ε ε σβυς τοις
ο φθαλ μοι οις το σω ω τη η ρι ι ον ο λα οις ε πε στη εκ Θε ου
Χρι στε συ υ Θε ος μου
ᾠδὴ ζ΄
Σ ε τον εν π υ ρι δρο σι σαν τα παι δας θε ο λο ο γη η σα αν τας και
Παρ θε νω α κη ρα τ ω εν οι κη σαν τα Θε ον Λο ο γον υ μνου
ου μεν ευ σε βως με ε λω δου ου ουν τες ευ λο γη το ο ος ο Θε
ος ο των πα τε ε ρων η μων
ᾠδὴ η΄
Α ι νου μεν ευ λο γου μεν και προσ κυ νου ου μεν το ον Κυ ρι ι
ον
Α στε κτω π υ ρι ι ε νω θεν τες οι θε ο σε βει α
προ ε στω τες νε α νι ι αι τη φλο γι δε μη η λω βη θεν







## Τιμιωτέρα

Πέτρου τοῦ Πελοποννησίου

Λουκᾶ κεφ. 1

## Ἦχος Γα

∴ Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου. 46-47

∴ Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. 48

∴ Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν. 49-50

∴ Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.51

∴ Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς. 52-53

∴ Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος. 54-55

Πέτρου Λαμπαδαρίου

## Ἦχος Γα Πα

Πανδέκτη
Όρθρος 1850 σ.502#










## Καταβασία θ΄ ᾠδῆς

Πέτρου Λαμπαδαρίου (σύντομος)

ᾠδὴ θ'

## Ἦχος Γα

Ιωάννου Πρωτοψάλτου
Ειρμολόγιον 1903 σ.293#







## Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τὸν Ἱεράρχην Κλήμεντα, σὺν τῷ Ἀγαθαγγέλῳ, ἀξιοχρέως σήμερον, εὐφημήσωμεν πάντες, ὅτι βασάνων ποικίλων, ὑπομείναντες εἴδη, τὰς κάρας

ἀπετμήθησαν, ἀπηνῶς διὰ ξίφους, καὶ τῆς ζωῆς, ἐν Ἐδὲμ ἐγένοντο κληρονόμοι, ὑπὲρ ἡμῶν πρεσβεύοντες, τῷ Θεῷ παῤῥησίᾳ.

**Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.**

Ω῾ς Παῦλος ὁ Ἀπόστολος, τὴν γῆν κυκλώσας ἅπασαν, καὶ τῶν μακρῶν σου ἀγώνων, ἐκτείνας Κλήμη τὸ κλῆμα, τῇ ἕλικι τῆς πίστεως, ζωγρεῖς τὸν Ἀγαθάγγελον, συγκοινωνόν σοι Μάρτυρα, τῆς ἀγαθῆς ἀγγελίας, ἐπώνυμον Ἀθλοφόρον

**Θεοτοκίον.**

Ω῾ς οὖσα καθαρώτατον, δοχεῖον Θεονύμφευτε, τῆς τῶν παθῶν με ἀχλύος, δεῖξον ἐλεύθερον Κόρη· βρυγμοῦ ὀδόντων σκώληκος, καὶ τοῦ πυρὸς ἐξάρπασον, τοῦ αἰωνίου Δέσποινα, ὅπως ἐν πίστει ὑμνῶ σε, εὐλογημένη Μαρία.

Κωνσταντίνου Πρίγγου

Κωνσταντίνου Πρίγγου
Ἀναστασιματάριον
1952 σ.18*

**Ἦχος Πα**






Εἰς τὸν ἀσπασμὸν τῶν ἁγίων εἰκόνων ὑπὸ τοῦ ἀρχιερέως

Μέλος ἀρχαῖον

## Ἦχος Ζω

Γεωργίου Πρωγάκη
Μουσική συλλογή
Όρθρος 1909 σ.197/471*




ε λε ε ε ε ε α α α α α α α α α α α α α η
η η μω ω ω λω ω ω ω ω ω ω ω ω ω ων Κυ
υ υ υ υ υ υ ρι ι ι ε Κυ υ ρι ι ι ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε χε ε ε ε λε ε ε ε ε
ε ε φυ υ υ υ υ υ υ υ υ υ υ υ υ υ υ υ λα
α α φυ υ λα α ατ τε ει ει ει ει ει ει εις πο ο
ολ λα α α α λα α α α α α α α α α α α λα α
α α α α α ε ε λε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε λε ε ε
τη η Δε ε ε ε ε ε ε ε ε ε ε ε ε ε σπο ο ο Δε
ε σπο ο ο τα α α α α α α α α α α α α α



**Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.**

**Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.**

Πανεύφημοι Μάρτυρες Χριστοῦ, Κλήμη γενναιότατε, καὶ θαυμαστὲ Ἀγαθάγγελε, καταφρονήσαντες, τῶν πικρῶν βασάνων, ἀνδρικῶς ἠθλήσατε, καὶ δόξης θεϊκῆς ἠξιώθητε· διὸ πρεσβεύετε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Πανεύφημοι Μάρτυρες Χριστοῦ, Κλήμη παμμακάριστε, καὶ ἱερὲ Ἀγαθάγγελε, ἀποκρουσάμενοι, ἀπειλὰς τυράννων, ἐν σαρκίνοις σώμασιν, ὡς ἄσαρκοι Θεὸν ἐδοξάσατε· διὸ πρεσβεύετε δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Πανεύφημοι Μάρτυρες Χριστοῦ, Κλήμη παναοίδιμε, καὶ κραταιὲ Ἀγαθάγγελε, βασάνων στίγμασι, καθωραϊσθέντες, κεφαλὰς ἐτμήθητε, καὶ νίκης τὰ βραβεῖα ἐδέξασθε· διὸ πρεσβεύετε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Πανεύφημοι Μάρτυρες Χριστοῦ, Κλήμη θεοδόξαστε, καὶ Ἀγαθάγγελε πάντιμε, ὡς γεωργήσαντες, μαρτυρίας βότρυν, τῆς ἀθανασίας νῦν, τῷ οἴνῳ ἐν ὑψίστοις εὐφραίνεσθε· διὸ πρεσβεύετε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνη, καὶ τὸ μέγα ἔλεος.

## Δόξα. Ἦχος β΄.

Πανεύφημοι Μάρτυρες Χριστοῦ, πίστεως τῷ συνδέσμῳ συνδεόμενοι, καὶ Πνεύματος τῇ ῥώμῃ δυναμούμενοι, ἐν τῇ ὁμολογίᾳ χαίροντες, μίαν γνώμην ἐπεδείξατε, καὶ μαρτυρίου τὸ στάδιον, ἀδελφὰ συμφρονοῦντες ὑπήλθετε, Κλήμη ἱερὲ καὶ Ἀγαθάγγελε· διὸ δοκιμασθέντες ταῖς μάστιξι, καὶ ταῖς πολυχρονίοις κολάσεσι, διὰ ξίφους πρὸς τὴν ζωὴν διεβιβάσθητε, καὶ τῷ οἴνῳ τῆς ἀθανασίας ἐμεθύσθητε. Ὅθεν πρεσβεύετε ὑπὲρ ἡμῶν, τῶν εὐλαβῶς ἐκτελούντων, τὸ ἱερὸν ὑμῶν μνημόσυνον.

## Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἰωάννου Καββάδα (†1899)

Ἦχος

Μουσική Συλλογή
Γεωργίου Πρωγάκη
1909 σ.222*




Κ υ ρι ε ο Θε ος ο α μνος του Θε ου ο Υι ος του Πα τρος
ο αι ρων την α μαρ τι αν του κο ο ο σμου ε λε η σον
η μας ο αι αι ρων τας α μαρ τι ας του κο ο σμου
Π ροσ δε ξαι την δε η σιν η μων ο κα θη με νος εκ δε ξι
ων του Π α τρος και ε λε η σον η μας
Ο τι συ ει μ ο νος Α γι ος συ ει ει μο νος Κ υ ρι ος Ι η σους
Χρι στος εις δο ο ξαν Θε ου Πα τρος α μην
Κ αθ ε κα στην η με ραν ευ λο γη σω σε και αι νε ε σω
το ο νο μ α α σου εις τον αι ω ω να και εις τον αι ω να
του αι ω νος
Κ α τα ξι ω σον Κυ ρι ε εν τη η με ρα τα αυ τη α να μαρ
τη τους φυ λα χθη η ναι η μας


Ευ λο γη τος ει Κυ ρι ε ο Θε ος των Πα τε ρων η μων και
αι νε τον και δε δο ξα σμε ε νον το ο νο μα α σου εις τους
αι ω ω νας α μην
Γε νοι το Κυ ρι ε το ε λε ος σου εφ η μας κα θα περ η λ πι σα
μεν ε πι σε
Ευ λο γη τος ει ει Κυ ρι ε δι δα ξο ον με τα δι και ω μα τα
α σου (γ΄)
Κυ ρι ε κα τα φυ γη ε γεν νη θης η μιν εν γ ε νε α και γε
νε α ε γω ει πα Κυ ρι ε ε λε η σο ον με ι α σαι την ψυ
χη ην μου ο τι η μαρ το ον σοι
Κυ ρι ε προς σε κα τε φυ γον δι δα ξον με του ποι ειν το
θε λη μα α σου ο τι συ ει ο Θε ο ος μου


Ο τι πα ρα σοι πη γ η ζω ης εν τω φω τι ι σου ο ψο ο
με θα φως
Π α ρα τ ει νον το ε λε ο ος σου τοις γι νω σκου σι ι
σε
Α γι ος ο Θ ε ος α γι ος ι σχυ ρος α γι ος α θα να τος
ε λε η σον η μας (γ΄)
Δ ο ξα Π α τρι και Υι ω και α γι ω Π νευ μ α τι
Κ αι νυν και α ει και εις τους αι ω ναςτων αι ω ω νων
α μην
Α γι ος α θα να τος ε λε η σον η μας
Α α α α α γι ο ος ο Θε ε ος
Α α α α α γι ο ος ι σχυ υ ρος




Θεοδώρου Φωκαέως (†1851)

Ήχος

Θεοδώρου Φωκαέως
Ταμείον Ανθολογίας Β΄
1869 σ.488*




Κ υ ρι ε ε ε ε ε βα σι ι λευ ε που ρα α νι ε
ε ε Θε ε ε ε ε Πα α τερ Πα αν το κρα α α α τορ Κυ ρι
ε Υι ε μο ο νο γε ε νες Ι η σου ου ου Χρι ι στε και αι αι
α α α γι ι ον Πνε ε ε ευ μα
Κ υ ρι ε ε ο Θε ε ος ο α μνο ος του Θε ε ε ου
ο Υι ο ο ο ο ος του Πα α τρο ο ο ος ο αι αι αι ρω ω
ων την α μαρ τι ι ι α α αν του κο ο ο ο σμου
ε λε ε η η σον η η μα α α ας ο αι αι αι ρω ω ων τας
α μαρ τι ι ι α ας του κο ο ο ο σμου
Π ροσ δε ξαι την δε η η σιν η η μω ω ω ω ων ο κα θη η με ε
νος εκ δε ξι ων του ου ου Πα α τρος και ε λε ε η σο
ον η η η μας


Ο τι συ υ υ ει μο ο νος α α α γι ι ι ι ος
συ υ υ ει ει μο ο νος Κυ υ υ υ υ ρι ι ι
ι ι ο ο ος Ι η σου ου ου ου ους Χρι ι ι ι στο ος
εις δο ο ξαν Θε ου ου Πα τρο ο ος α α α α μη ην
Καθ ε κα στην η η με ε ε ε ρα α αν ευ λο γη η η
η η σω ω ω ω σε και αι νε ε σω ω το ο ο ο ο
ο νο μα α σου εις τον αι ω ω ω να και εις τον αι αι
ω ω να του ου ου αι ω ω ω ω νος
Κα τα ξι ω σο ο ον Κυ ρι ι ε ε εν τη η η η η
με ε ε ρα τα α αυ τη α να μαρ τη η η του ου ους
φυ λα χθη η η ναι αι η η η μας


Ευ λο γη τος ει ει ει Κυ ρι ι ε ο Θε ε ος των πα τε ε
ε ρω ων η η η μων και αι νε ε το ο ο ο ον και δε
δο ο ξα α α σμε ε ε νο ον το Ο ο νο ο ο μα α α
σου ου εις τους αι ω ω ω ω ω να ας α α μ η ην
Γε νοι το ο ο Κυ υ ρι ι ι ε το ε λε ος σου ου εφ
η η μα ας καθ α α περ ηλ πι ι σα α με ε εν ε ε
πι ι ι σε
Ευ λο γη τος ει ει ει Κυ υ ρι ι ι ε δι δα ξο ο
ο ον με ε τα α α α δι ι και ω ω μα τα α α α σου

(γ΄)


Κυ υ ρι ε κα α τα φυ υ γη ε γεν νη η θη ης η η η
μι ιν εν γε νε α α α και γε νε ε α α α ε γω ει


πα α α Κυ υ ρι ι ι ε Ε λε ε ε ε η η σο
ο ον με ι α σαι αι αι τη η ην ψυ υ χη η ην μου ο
ο τι η η μαρ το ο ο ον σοι
Κ υ ρι ε προ ο ος σε ε κα τε ε ε φυ υ γο ο ον δι ι
ι δα ξο ο ον με του ποι ειν το ο ο θε ε ε λη η μα
α α σου ο τι συ ει ει ει ο ο Θε ο ο ο ος
μου
Ο τι πα ρα σοι πη γη ζω ω ω η ης εν τω φω τι ι ι ι
σου ου ου ο ψο ο ο με ε θα α α φως
Π α ρα α τει ει νον το ε λε ο ο ο ος σου ου ου τοι οις
γι νω ω σκου σι ι ι ι σε


α γι ο ος ο Θε ε ο ος α α γι ο ος ι σχυ υ ρος α γι ο
ο ος α θα α α να α α α τος ε λε ε η η σο ο
ον η η η η μας
Δο ξα Πα τρι ι ι ι και Υι υι ω και α γι ι ι ω Πνε ε
ευ μα τι
Και νυ υ υ υν και α α ει και εις τους αι ω ω ω νας των αι
ω ω ω ω ω νων α α μη η η η η ην
γι ι ο ος α θα α α να α α α α τος ε λε ε
η σο ο ον η η η η μας
α α α α α α α α α α α α α α α γι ι ι
ι ι ι ι ι α α α α γι ι ο ος ο ο ο ο ο ο ο


ο ο ο ο ο ο ο Θε ε ε ε ε ε ε ε ο ο Θε ε ε
ο ο ο ο ο ο ο ο ο ο ο ος
α α α α α α α α α α α α α α α γι ι ι
ι ι ι ι ι α α α α γι ι ο ος ι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι σχυ υ υ υ υ υ υ υ υ υ ι ι
σχυ υ υ ρο ο ο ο ο ο ο ο ο ο ος
α α α α α α α α α α α α α α α α α γι ι
ο ος α θα α α α α α α α α α α α α α
α α α α α α Α θα α α να το ο ος ε ε ε λε
η η σο ον η μα α α α α α α α α ας

# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.

Ἀμήν.

Δημητρίου Σουρλαντζή
Βυζαντινή Θ. Λειτουργία 1992 σ.1*




ἕτερα




## Ἀντίφωνα

ἀντίφωνον α΄

### Ἦχος Δι.

∴ Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. 102:1

∴ Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. 102:2

∴ Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. 102:19

∴ Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. 102:22

Πέτρου Λαμπαδαρίου

### Ἦχος Δι.

Πανδέκτη 1851 σ.26#




Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.




Συναπτή

| | |
|---|---|
| Ἔτι καὶ ἔτι... | Κύριε, ἐλέησον. |
| Ἀντιλαβοῦ, σῶσον... | Κύριε, ἐλέησον. |
| Τῆς παναγίας, ἀχράντου... | Σοί, Κύριε. |
| Ὅτι σὸν τὸ κράτος... | Ἀμήν. |

ἀντίφωνον β′

# Ἦχος Δι.

∴ Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. 145:1-2

∴ Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ. 145:5

∴ Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. 145:6

∴ Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν. 145:10

Πέτρου Λαμπαδαρίου

# Ἦχος Δι.

Πανδέκτη 1851 σ.26#









Συναπτή

Ἔτι καὶ ἔτι... Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον... Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου... Σοί, Κύριε.
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος... Ἀμήν.

**Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.**

Ξυνωρίδα τὴν θείαν, τῶν Μαρτύρων τιμήσωμεν, Κλήμεντα σοφὸν Ἱεράρχην, καὶ κλεινὸν Ἀγαθάγγελον· μακρᾷ γὰρ τῶν βασάνων δοκιμῇ, ἐνήθλησαν ἀνδρείως ἐπὶ γῆς, καὶ δεξάμενοι τὸ στέφος παρὰ Θεοῦ, προΐστανται τῶν βοώντων· Δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι δι᾽ ἡμῶν, ἡμῖν χάριν σωτήριον.

**Ἕτερον τοῦ Ἁγίου Κλήμεντος.**
**Ἦχος δ΄.**

Κλῆμα ὁσιότητος, καὶ στέλεχος ἀθλήσεως, ἄνθος ἱερώτατον, καὶ καρπὸς ὡς θεόσδοτος, τοῖς πιστοῖς πανίερε, ἡδύτατος ἐβλάστησας. Ἀλλ᾽ ὡς Μαρτύρων σύναθλος, καὶ Ἱεραρχῶν σύνθρονος, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἕτερον τοῦ Ἁγίου Ἀγαθαγγέλου.**
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Φωταυγείᾳ τῶν ἄθλων, τοῦ θείου Κλήμεντος, καταυγασθεὶς τὴν καρδίαν, τὴν ἐν μακρῷ δοκιμήν, τῶν βασάνων τῶν πολλῶν, στεῤῥῶς ὑπέμεινας, καὶ ἐκτμηθεὶς τὴν κεφαλὴν, Ἀγαθάγγελε ζωῆς, τῆς θείας κατηξιώθης. Ὅθεν Χριστὸν ἐκδυσώπει, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Κωνσταντίνου Πρίγγου

Ἦχος Πα

Κωνσταντίνου Πρίγγου
Μουσική Κυψέλη
τόμος α' 1969 σ.74#




Τρισάγιος ὕμνος

Ἦχος Δι.

Γεωργίου Πρωγάκη
Μουσική Συλλογή
Θ. Λειτουργία 1909 σ.31*


Α μην α α α γι ι ι ο ο ος ο ο ο Θε ο
ο ο ος α α α γι ι ι ο ο ος ι ι ι σχυ ρο ο ο
ος α α α γι ι ι ος α θα α α να α α α τος
ε λε ε ε η σο ο ο ον η μα α ας
τὸ τρίτον
Α γι ος ο Θε ο ο ο ο ο ο ο ο ο ο ο ο ος
α γι ος ι σχυ ρο ο ο ος α α γι ι ι ος α θα
α α να α α α τος ε λε ε ε η σο ο ον η
μα α ας
Δ ο ξα Πα τρι και Υι ω και α γι ω Πνε ε ε ευ μα τι
Κ αι νυν και α ει ει και εις τους αι ω νας των αι ω
νων α μην




Σίμωνος Ἀβαγιανοῦ (1839-19..)

## Ἦχος

Δημητρίου Σουρλαντζῆ
Θεία Λειτουργία
1992 σ.38*




ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο Θε
ε ε ε ο ο Θε ε ε ο ος
ΝΗ ΜΕΛ
α α α α α α α α α α α α α
ΔΙ
α α α α α α α α α α α α α α α α α
ΝΗ
α α γι ι Α α γι ι ι ο ος Ι ι ι ι ι ι σχυ υ υ
ΜΕΛ ΔΙ
υ υ υ υ υ υ υ υ υ ιυ υ υ υ υ υ υ
υ υ υ Ι σχυ υ υ ρο ο ο ιο ο ο ο ο ο
ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο Ι
ι ι ι ι ι σχυ υ ρο ος
ΔΙ
α α α α α α α α α α α α α α
γι ι ι ι ι ι ι ι ι ι ι ι ιε ε ε ε Α α
α α α γι ι ι ο ος Α θα α α α α α α




Ἰωάννου Παλάση (1891-1942)

Ἦχος Δι.

Δημητρίου Σουρλαντζή
Βυζαντινή Θεία Λειτουργία
1992 σ.42*




ΔΙ
α α α α α α α α ια α α α α α α
α α α α α α α α γι ι ι ι ι ι ι ι ι ι ι ιι
ΝΗ
ΜΕΛ
ι ι ι ι ι ι ι ι Α α γι ι ι ο ο ο ο ο ο ο ο ο
ΔΙ
ο ο ο ος ο ο ο ο Θε ε ε ε ε ε ε ε
ιε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ο Θε
ε ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ος
ΔΙ
α α α α α α α α ια α α α α α α
α α α α α α α α γι ι ι ι ι ι ι ι ι ι ι ιι
ΝΗ
ΜΕΛ
ι ι ι ι ι ι ι ι Α α γι ι ι ο ο ο ο ο ο ο ο ο
ΔΙ
ο ο ο ος Ι ι ι ι σχυ υ υ υ υ υ υ υ
ιυ υ υ υ υ υ υ υ υ υ υ υ υ υ Ι σχυ
υ ρο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ος




Προκείμενον. Ἦχος βαρὺς

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ ᾿Ανάγνωσμα 8:28-39

Ἀδελφοί, οἴδαμεν ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν· ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε, καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν, οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε. Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ᾿ ἡμῶν; Ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ᾿ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; Τίς ἐγκαλέσει

κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν· τίς ὁ κατακρίνων; Χριστὸς ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθείς, ὃς καὶ ἔστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν. Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; Θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα; Καθὼς γέγραπται ὅτι «ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς». Ἀλλ᾽ ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε δυνάμεις οὔτε ἐνεστῶτα οὔτε μέλλοντα οὔτε ὕψωμα οὔτε βάθος οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ ᾿Ιησοῦ τῷ Κυρίῳ ἡμῶν.

Εὐαγγέλιον τῇ κστ΄ Ὀκτωβρίου, ἐν τῇ μνήμῃ τοῦ Ἁγίου Μεγαλομάρτυρος Δημητρίου.

Πέτρου Λαμπαδαρίου (1730-1777)

ἑβδομάδος

**Ἦχος Πα**

Μουσική Συλλογή
Γεωργίου Πρωγάκη
1909 σ. 92#




ζον τε ε ε ες και αι αι αι αι τ η ζω ο ο ποι οι οι οι οι
οι οι οι οι οι ζω ο ποι ω ω ω ω ω ω ω ω Τρι ι α α α
α α α α δι ι τον τρισ α α α α γι ι ι ι ι ι
ι ο ο ο ον υ υ υ υ υ υ υ μνο ο ο υ
μνο ον προσ α α α α δο ον τε ε ε ες πα α α α α α α
α α α σα αν την βι ο ο τι ι ι ι ι ι ι
ι ι βι ο ο τι κη η η η η η η ην α πο θω ω ω με
θα α α με ε ε ε ρι ι μνα α α αν
Ω ς τον βα α α σι λε ε ε ε ε ε ε ε ε
ε ιε ε ε ε βα σι ι λε ε ε ε ε ε ε ε ε ε ε
ε ε α α α α α α α α α α των ο ο λων υ πο
ο δε ε ξο ο ο ο ο με ε ε ε νοι




Θεοδώρου Φωκαέως (†1851)

κ-β'

# Ἦχος Πα

Μουσική Συλλογή
Γεωργίου Πρωγάκη
Θ. Λειτουργία
1909 σ.61#




ι ι ι ι ι ι ι ι ι ι κο ο ο ο νι ι ι ι ι ι
ι ι ι ι ι ι ι ι ι ι ι ι ζο ο ο ο ει ει κο ο ο
νι ι ι ι ι ι ι ι ι ζον τε ε ε ες και αι αι αι αι αι αι τ η ζω
ο ο ο ο ο ποι οι οι οι οι οι οι οι οι οι ζω ο ποι
ΔΙ
ω ω ω ω ω ω ω ω Τρι ι ι ι α α α α α α
ΚΕ
α α α α α α α α α α α α α α α α
ΔΙ ΚΕ
χα α α α α τρι α α α α α α δι ι ι ι τον τρισ
ΠΑ
α α α α γι ι ο ον υ υ υ υ υ μνον προσ α α α α
ΔΙ
ια α α α α α δο ο ο ο ο ο ο υ μνον προ ο οσ α
α α α δο ον τε ε ε ες πα α α α α α α α α α α σα
ΚΕ
αν την βι ι ο ο ο τι ι ι βι ο ο τι ι κη η η η η
ΠΑ ΚΕ
η η ην α πο θω ω ω ω με ε ε ε θα α α α α
ΠΑ




Θρασυβούλου Στανίτσα (1910-1987)

σύντομον

# Ἦχος πλ. δ' Πα

Θρασυβούλου Στανίτσα
Συλλογή Μουσικών Χειρογράφων
Θεία Λειτουργία σ.81#






Ἐλευθερίου Γεωργιάδη

## Ἦχος Πα

Έλευθερίου Π. Γεωργιάδη
Τρίτομος Άνθολογία τ.Γ'
Θεία Λειτουργία σ.107#




Δημητρίου Σουρλαντζῆ (†2006)

Ζ-Β'

## Ἦχος Πα

Βυζαντινή Θ. Λειτουργία
Δημητρίου Σουρλαντζῆ
1992 σ.116#




τα Χε ε ε ε ρου ου βι ι ι ιμ μυ στι κω ω ως
ει κο νι ι ι ζο ον τε ε ε ες και αι αι αι αι τη ζω
ο ο ο ποι οι οι ζω ο ο ποι ω ω ω ω ω ω ω ω
ω Τρι α α α α α α α α α α α χα
ιε ε Τρι ι α α α α α α α α α α α α ιε ε
Τρι α α α α α α δι ι ι ι τον τρισ α α γι ι ον
υ υ υ μνον προσ α α α δο ον τε ε ε ες πα σαν
τη ην βι ο ο τι ι κην α πο θω ω με ε ε θα με ε ε
ρι ι μνα α α αν
ω ως το ο ο ον βα σι ι λε ε ε ε βα σι λε ε
ε ε ε ε α α α α των ο ο λων υ πο ο δε ε ξο
ο ο ο ο με ε ε ε νοι




Λειτουργικὰ

Βασιλείου Νικολαΐδου

**Ἦχος Πα**

Ανθολογία Λειτουργικών
Βασίλειος Μαυράγκανος
2013 σ.10#




ΠΑ
Π α ρα α σχουου Κυ υ υ ρι ε
ΠΑ
Π α ρα α σχου ου Κυ υ υ ρι ε
ΠΑ
Π α ρα α σχου ου Κυ υ υ ρι ε
ΠΑ
Π α ρα α σχου ου Κυ υ υ ρι ε
ΠΑ
C οι Κυρι ε
ΜΕΛ
λ μην
ΠΑ
Κ αι τω πνευ μα τι ι ι σου
ΠΑ
λ γα πη σω σε Κυ ρι ε η ι σχυς μου Κυ ρι ος στε
ρε ω μα α α μου και κα τα φυ γη μου και αι ρυ υ στη η ης
μου
ΠΑ
Π α τε ρα Υι ον και α γι ον Πνευ μα Τρι α δα
ο μο ο ου σι ον και α α χω ω ρι ι ι ι στον

Τὰς θύρας, τὰς θύρας. Ἐν σοφίᾳ πρόσχωμεν.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων.

Φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο.

Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.

Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα.

Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς Γραφάς.

Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.

Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διά τῶν Προφητῶν.

Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν.

Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.

Προσδοκῶ ἀνάστασιν νεκρῶν.

Καὶ ζωήν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Στῶμεν καλῶς· στῶμεν μετὰ φόβου·
πρόσχωμεν τὴν ἁγίαν ἀναφοράν, ἐν εἰρήνῃ προσφέρειν.






Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ἄξιόν ἐστιν

Γρηγορίου Πρωτοψάλτου

## Ἦχος Πα

Πανδέκτη
Θ. Λειτουργία
1851 σ.442#




Γρηγορίου Πρωτοψάλτου

## Ἦχος Πα

Πανδέκτη
Θ. Λειτουργία
1851 σ.443#




Χουρμουζίου Χαρτοφύλακος

# Ήχος Πα

Ιερατικόν Εγκόλπιον
Παναγιώτου Κηλτζανίδου
1870 σ.42#




Μιχαήλ Χατζηαθανασίου

Ανθολογία Λειτουργικών
Βασίλειος Μαυράγκανος
2014 σ.15#

# Ἦχος Πα

ἑπτάφωνος




ΠΑ ΜΕΛ ΠΑ
Π α ρα α α σχου Κυ υ υ ρι ε
ΠΑ
C οι οι Κυ υ ρι ι ι ε
ΠΑ
λ μην
ΠΑ
Κ αι τω πνευ μα τι ι ι σου
Δημ. Σουρλατζή Θ. Λειτουργία 1992 σ.243#
ΠΑ
λ γα πη σω ω σε Κυ υ ρι ε η ι σχυ υ υς
ΔΙ
μου Κυ ρι ος στε ρε ω μα α α α μου και κα τα φυ γη η
ΠΑ
η η μου και αι ρυ υ στη ης μου ου
ΠΑ
Π α τε ρα Υι ον και Α α γι ον Πνευ μα Τρι α δα
ο μο ου ου ου σι ον και α α χω ρι ι ι στον
ΠΑ
ϵ λε ον ει ρη νης θυ σι ι αν αι νε ε ε σε ε ε ως
ΠΑ
Κ αι με τα του πνευ μα τος σου


ΠΑ
Є ε ε χο μεν προς τον Κυ υ υ ρι ον
ΠΑ ΜΕΛ
Α ξι ον και δι ι ι και ον
ΠΑ
Α γι ος α γι ος α γι ος Κυ υ ρι ος Σ α β α ωθ
πλη ρης ο ου ρα νος και η γη της δο ξης σου ω σαν να
εν τοις υ υ ψι στοις ευ λο γη με νος ο ερ χο ο ο ο με νος
εν ο νο μα τι Κυ ρι ι ου ω σα α αν να ο εν τοις
υ υ ψι ι ι ι ι ι ι ι στοις
ΠΑ
Α α α α α α α μην
ΠΑ
Α α α α α α α α α α α α μην
ΠΑ
C ε υ υ μνου ου ου ου ου μεν σε ευ λο γου ου ου ου ου
ου ου με ε εν σοι ευ χ α ρι στου μεν Κυ υ υ υ υ υ




Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.






**Κοινωνικόν.**

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Κοινωνικόν ἦχος βαρύς

Πέτρου Λαμπαδαρίου (1730-1778)

ἑβδομάδος

**Ἦχος Ζω**

Πανδέκτη
Θ. Λειτουργία
1851, σ.607#




ΠΑ ΝΗ ΠΑ
ω ω ω ω ω ω ω ω ω ω ω ω ω ω ω ω ω ω αι αι αι ω
ω ω ω ω ω ω ω ω ω ω ω ω ω αι ω ω ω ω ω ω
ω ω ω ω ω ω χω ω ω ω ω ω ω ω ω ω ω
ΝΗ ΖΩ
ω ω ω ω ω ω νι ι ι ι ι ι αι αι ω ω ω ω ω ω ω
νι ι ι ο ο ο ο ο ο ο ο ο ο ον ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε σται αι αι ε σται
ΚΕ
αι δι ι ι ι ι ι ι ι ι ι ι ι ι χι ι ι ι ι ι ι ι
ΔΙ
ι ι ι χι ι ι ι ι ι ι ι ι ι ι χι ι ι ι ι ι
ΠΑ
ι ι ι ι ι ι ι ι ι ι ι ι ι ι χι ι ι ι ι ι
ι ι ι ι ι ι ι ι ι ι ι ι ι χι ι ι ι ι ι ι ι ι ι
ΝΗ ΖΩ
ι ι ι ι ι ι ι ι ι ι δι ι ι ι ι ι ι ι ι ι ι και αι αι




Δημητρίου Σουρλαντζῆ (†2006)

Δημητρίου Σουρλαντζῆ
Β.Θ.Λειτουργία
1992 σ.451*

## Ἦχος Ζω






Δημητρίου Σουρλαντζῆ

Ἦχος Δι.

Δημητρίου Σουρλαντζή
Βυζαντινή Θεία Λειτουργία
1992 σ.562#




**Μεγαλυνάριον.**

Κλήμην εὐφημήσωμεν τὸν σοφόν, σὺν Ἀγαθαγγέλῳ, τῷ συνάθλῳ οἱ εὐσεβεῖς, ὡς τῆς εὐσεβείας, ἐνδόξους στεφανίτας, καὶ θείους ἡμῶν πρέσβεις, πρὸς τὸν Φιλάνθρωπον.

**Ἕτερον τοῦ Ἁγίου Κλήμεντος.**

Κλῆμα τῆς ἀμπέλου τῆς μυστικῆς, πολύφορον Κλήμη, ἀναδείχθης μαρτυρικῶς. Ὅθεν χάριτός σου, τῷ οὐρανίῳ οἴνῳ, εὔφρανον τὰς καρδίας, τῶν εὐφημούντων σε.

**Ἕτερον τοῦ Ἁγίου Ἀγαθαγγέλου.**

Α῎γγελος τῇ κλήσει ὡς ἀληθῶς, ὤφθης καὶ τῇ πράξει, Ἀγαθάγγελε θαυμαστέ. Ὅθεν νῦν Ἀγγέλων, συνὼν χοροστασίαις, ὑπὲρ ἡμῶν δυσώπει, Χριστὸν τὸν Κύριον.

Στίχοι.

Κλήμεντι ὕμνοις σὺν τῷ Ἀγαθαγγέλῳ,

Κύριλλος πίστει ἐξύφανεν ὁ Ῥόδου.